# 144. THE TRIUMPHAL ENTRY (Matt-Lk Identicals)

| Matt 21:1-11 | Luke 19:29-44 |
| --- | --- |
| Καὶ ὅτε ἤγγισαν | Καὶ ἐγένετο ὡς ἤγγισεν |
| εἰς Ἱεροσόλυμα | |
| καὶ ἦλθον εἰς Βηθφαγὴ | εἰς Βηθφαγὴ καὶ Βηθανία |
| εἰς τὸ Ὄρος τῶν | πρὸς τὸ ὄρος τὸ καλούμενον |
| Ἐλαιῶν, | Ἐλαιῶν, |
| τότε Ἰησοῦς ἀπέστειλεν | ἀπέστειλεν |
| δύο μαθητὰς | δύο τῶν μαθητῶν |
| 2 λέγων αὐτοῖς, | 30 λέγων, |
| Πορεύεσθε | Ὑπάγετε |
| εἰς τὴν κώμην τὴν κατέναντι | εἰς τὴν κατέναντι κώμην, |
| ὑμῶν, | |
| καὶ εὐθέως | |
| | ἐν ᾗ εἰσπορευόμενοι |
| εὑρήσετε ὄνον | εὑρήσετε |
| δεδεμένην καὶ πῶλον μετ αὐτῆς· | πῶλον δεδεμένον, |
| | ἐφ ὃν οὐδεὶς πώποτε ἀνθρώπων |
| | ἐκάθισεν, |
| λύσαντες ἀγάγετέ μοι. | καὶ λύσαντες αὐτὸν ἀγάγετε. |
| 3 καὶ ἐάν τις ὑμῖν εἴπῃ | 31 καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, |
| τι, ἐρεῖτε ὅτι | Διὰ τί λύετε οὕτως ἐρεῖτε ὅτι |
| Ὁ κύριος αὐτῶν χρείαν ἔχει· | Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| εὐθὺς δὲ ἀποστελεῖ αὐτούς. | |
| 4 Τοῦτο δὲ γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, | |
| 5 Εἴπατε τῇ θυγατρὶ Σιών, | |
| Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι, | |
| πραυ ς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον, | |
| καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου. | |
| 6 πορευθέντες δὲ | 32 ἀπελθόντες δὲ |
| οἱ μαθηταὶ | οἱ ἀπεσταλμένοι |
| καὶ ποιήσαντες | |
| | εὗρον |
| καθὼς συνέταξεν αὐτοῖς | καθὼς εἶπεν αὐτοῖς. |
| ὁ Ἰησοῦς | |
| | 33 λυόντων δὲ αὐτῶν |
| | τὸν πῶλον |

| | |
|---|---|
| | εἶπαν |
| | οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, |
| | Τί λύετε |
| | τὸν πῶλον |
| | 34 οἱ δὲ εἶπαν ὅτι |
| | Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| 7 ἤγαγον τὴν ὄνον καὶ | 35 καὶ ἤγαγον |
| τὸν πῶλον, | αὐτὸν |
| | πρὸς τὸν Ἰησοῦν, |
| καὶ ἐπέθηκαν ἐπ αὐτῶν | καὶ ἐπιρίψαντες αὐτῶν |
| τὰ ἱμάτια, | τὰ ἱμάτια ἐπὶ τὸν πῶλον |
| καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. | ἐπεβίβασαν τὸν Ἰησοῦν. |
| | 36 πορευομένου δὲ αὐτοῦ |
| 8 ὁ δὲ πλεῖστος ὄχλος | |
| ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια | ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν |
| ἐν τῇ ὁδῷ, | ἐν τῇ ὁδῷ. |
| ἄλλοι δὲ ἔκοπτον κλάδους | |
| ἀπὸ τῶν δένδρων | |
| καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. | |
| | 37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ Ὄρους τῶν Ἐλαιῶν |
| 9 οἱ δὲ ὄχλοι οἱ προάγοντες | ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν |
| αὐτὸν καὶ οἱ ἀκολουθοῦντες | μαθητῶν |
| | χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, |
| ἔκραζον λέγοντες, | 38 λέγοντες, |
| Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· | |
| Εὐλογημένος ὁ ἐρχόμενος | Εὐλογημένος ὁ ἐρχόμενος |
| | ὁ βασιλεὺς |
| ἐν ὀνόματι κυρίου· | ἐν ὀνόματι κυρίου· |
| | ἐν οὐρανῷ εἰρήνη |
| Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. | καὶ δόξα ἐν ὑψίστοις. |

*39 καί τινες τῶν Φαρισαίων ἀπὸ
τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν,
Διδάσκαλε, ἐπιτίμησον τοῖς
μαθηταῖς σου. 40 καὶ ἀποκριθεὶς
εἶπεν, Λέγω ὑμῖν, ἐὰν οὗτοι
σιωπήσουσιν, οἱ λίθοι κράξουσιν.
41 Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν
ἔκλαυσεν ἐπ αὐτήν, 42 λέγων ὅτι
Εἰ ἔγνως ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ σὺ
τὰ πρὸς εἰρήνην· νῦν δὲ ἐκρύβη ἀπὸ
ὀφθαλμῶν σου. 43 ὅτι ἥξουσιν
ἡμέραι ἐπὶ σὲ καὶ παρεμβαλοῦσιν
οἱ ἐχθροί σου χάρακά σοι καὶ
περικυκλώσουσίν σε καὶ
συνέξουσίν σε πάντοθεν, 44 καὶ
ἐδαφιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν
σοί, καὶ οὐκ ἀφήσουσιν λίθον ἐπὶ
λίθον ἐν σοί, ἀνθ ὧν οὐκ ἔγνως τὸν
καιρὸν τῆς ἐπισκοπῆς σου.*

*10 καὶ εἰσελθόντος αὐτοῦ*

*εἰς Ἱεροσόλυμα*

*ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα, Τίς
ἐστιν οὗτος
11 οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν ὁ
προφήτης Ἰησοῦς ὁ ἀπὸ Ναζαρὲθ
τῆς Γαλιλαίας.*

453 total words with 88 identicals = 19%